## Ἐκ τῶν εἰρημένων ἀπορίαι.

Τοῖς ῥηθεῖσιν ἀνωτέρω ἀπορίαι τινὲς ἀντιπίπτουσιν ἃς ἐπιλύσαι πειρατέον, εἰς σαφεστέραν κατάληψιν. πρῶτον γὰρ ἐπειδὴ λέγεται τῶν αὐξανομένων ἡ ὕλη μὴ μένειν ἡ αὐτὴ διὰ παντός, οὐ δοκεῖ σώζεσθαι τὸ αὐτὸ κατ' ἀριθμὸν τὸ αὐξόμενον, τοῦτο δὲ ἄτοπόν ἐστι μάλιστα μέντοι τὸ τῆς αὐξήσεως ὑποκείμενον ἐντελεχείᾳ τε εἶναι καὶ μένειν τὸ αὐτὸ κατ' ἀριθμὸν πᾶσιν ὁμολογεῖται. ἀλλ' ἔτι οὐδὲ ἡ αὔξησις ἦν ἂν μία τῷ ἀριθμῷ, ὡς μὴ μένοντος τοῦ αὐτοῦ ὑποκειμένου. ἀπὸ δὲ τῆς τοῦ ὑποκειμένου ταυτότητος εἰλῆφθαι τὸ τῆς αὐξήσεως ἑνικὸν δῆλον ἐστὶ πᾶσιν, ἔστι δὲ πρὸς ταῦτα πολυτρόπως ἀπαντῆσαι. φασὶ γάρ τινες τὸ αὐξόμενον σώζεσθαι ταυτὸ κατὰ τὸν Φιλόσοφον, οὐχ ὅπως ἡ αὔξησις ᾖ μία τῷ ἀριθμῷ, ἀλλ' ἵνα τοῦ αὔξοντος διαστέλληται τὸ αὐξανόμενον, τὸ μὲν γὰρ αὖξον μεταβάλλον εἰς ἑτέραν οὐσίαν, αὐτὸ δὲ τὸ αὐξόμενον μένει τὸ αὐτό. ἕτεροι δὲ τὸ αὐξόμενον τὸ αὐτὸ λέγουσι μένειν ὅπως ἂν καθ' ὁτιοῦν μέρος αὐτοῦ αὔξεσθαι δύνηται, καὶ προσιόντος ἔξωθεν τινὸς ὁτῳοῦν αὐτοῦ μέρει. εἰς τοῦτο δὲ αὐταρκές ἐστι τὸ ἐφ' ἑκάστης αὐξήσεως σώζεσθαι κατ' ἀριθμὸν ταυτὸ τὸ ὑποκείμενον. εἰ δέ τις καὶ τὴν τῆς αὐξήσεως ἑνότητα σώζειν ἀπὸ τῆς κατ' ἀριθμὸν ταυτότητος τοῦ ὑποκειμένου προθυμηθείη, ἐρεῖν ἔχει τῷ ὄντι μὴ μίαν εἶναι κατ' ἀριθμὸν αὔξησιν ἐκ γενέσεως ἄχρι τῆς καθεστώσης ἡλικίας, διακόπτεται γὰρ ἠρεμήσει τὰ πολλὰ ὡς καὶ αὐτὸς ὁ Φιλόσοφος κ γ. μορίῳ τοῦ ὀγδόου τῶν Φυσικῶν παρεγγυᾶν ἔδοξεν, ἀληθὲς οὖν ἐστιν ὅτι ἐπὶ μιᾶς ἑκάστης αὐξήσεως, ἓν ἐστι τῷ ἀριθμῷ τὸ αὐξανόμενον, ἐνδέχεται δὲ προϊόντος χρόνου μάλιστα ἐπὶ τῶν ἀψύχων μὴ τὸ αὐτὸ μένειν τῷ ἀριθμῷ, ὅπερ ηὔξηται τῷ αὔξεσθαι ἀρξαμένῳ. ἀλλ' εἴπωμεν ἡμεῖς ὅτι ἐπὶ τῶν ἐμψύχων, ἐφ' ὧν ἡ κυρίως αὔξησις θεωρεῖται λέλεκται τὰ στερεώτερα καὶ ἀρχοειδέστερα τῶν μερῶν, ἃ παρὰ τοῖς ἰατροῖς ἤκουσε σπερματικὰ μένουσι τὰ αὐτὰ ἀπὸ τῆς πρώτης γενέσεως ἄχρι τῆς φθορᾶς αὐτῶν ἀλλαγὴν παθόντα σμικρὰν τινα, καὶ ἀνεπαίσθητον, καὶ οἵαν οὐ δύνασθαι μεταβάλλειν τὴν τοῦ ὅλου προσηγορίαν, ἱκανὴ δὲ ἡ διαμονὴ τούτων σῶσαι τὴν κατ' ἀριθμὸν τοῦ αὐξομένου ταυτότητα, εἰρήσεται δὲ περὶ τούτου κατωτέρω διὰ μακροτέρων. Ἔτι δ' ἀντιφέρουσι τινὲς τοῖς λεγομένοις, εἰ εἶδος λέγεται τὸ τί ἐστιν εἶναι, καὶ ὁ λόγος τῆς οὐσίας, οὐχ ὑπῆρχεν ἂν τὸ ἐπὶ μέρους αὐξόμενον, ἀλλ' αὐτὸ δὴ τὸ καθόλου, οὗ τὰ ἐναντία τίθησιν ὁ Φιλόσοφος. καὶ γὰρ ὁ λόγος τῆς οὐσίας ἑκάστου τῶν καθόλου ἐστὶν, ἢ ὅτι τὸ καθόλου μὲν καθ' ἑαυτὸ οὔτε γίγνεται, οὔτε αὔξεται, ἐν δὲ τοῖς ἐπὶ μέρους ὀρθῶς ἂν λέγοιτο



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα πάσχειν. ἢ ὅτι τὸ καθόλου τὸ μὲν κατὰ ἀφαίρεσιν, ὃ καὶ ἐπιστητὸν λέγεται, οὐδαμῆ οὐδαμῶς μεταβάλλον, τὸ δὲ ἐν αὐτοῖς τοῖς ἀτόμοις ταῖς τούτων ἠμφιεσμένων διαφοραῖς, τοῦτο δὲ μάλιστα ἐστὶν ὃ μεταβάλλει καὶ γίνεται. Τρίτον εἰ μένειν λέγεται ταὐτὸ τὸ αὐξόμενον ὅτι ὁ λόγος ἐστὶν ὁ αὐτὸς, λέγοιτ' αὖ καὶ ἐπὶ τοῦ ἀγγείου τὸ ὕδωρ σώζεσθαι τὸ αὐτὸ, ὁ γὰρ λόγος τοῦ ὕδατος ῥεύσαντός τε καὶ ἐπιχεομένου ἐστὶν ὁ αὐτὸς, ἢ ὅτι τὸ μὲν ὕδωρ οὐ λέγεται σώζεσθαι τὸ αὐτὸ, ὅτι θεωρεῖται ὡς ὕλη. ἡμεῖς δὲ τὸν κατὰ τὸ εἶδος λόγον τὸν αὐτὸν ὄντα τὴν τοῦ ὑποκειμένου ταὐτότητα φαμὲν ἀποτελεῖν.

## Πότερον ἐν τῷ ζῶντι μένει τί μέρος τὸ αὐτὸ διὰ παντὸς ἕως οὗ φθαρήσεται;

Εἰπόντος τοῦ Φιλοσόφου τῆς τοῦ αὐξανομένου ὕλης τὸ μὲν ὑπεκρεῖν, τὸ δὲ προσιέναι, εἰκότως ἀμφισβητεῖται πότερον ἡ τοῦ ζῶντος ὕλη πᾶσα κατὰ σμικρὸν ἀποῤῥεῖ, ὥστε μηδὲν αὐτῆς μέρος μένειν τὸ αὐτὸ δι' ὅλου τοῦ βίου, ἢ οὔ; ἀλλ' ἔσται τί μέρος αὐτῆς μένον ἄῤῥευστον, ὥστε καὶ τὸ αὐξόμενον ταὐτὸν εἶναι κατ' ἀριθμὸν, ὡς τῶν ἐν αὐτῷ μερῶν μένοντος τοῦ κυριωτάτου, καὶ πρώτου; τοιγάρτοι δείκνυται πρῶτον, ὅτι οὐκ ἔστι τις ὕλη ἡ αὐτὴ διὰ παντὸς σωζομένη, τὰ γὰρ μέρη τῆς ὕλης τὸν αὐτὸν λόγον ἔχει ἅπαντα, ὥστε ῥεῖν ὁμοίως ἐνδέχεσθαι, καὶ μὴ, τὰ μὲν τηρεῖσθαι τὰ αὐτὰ, τὰ δὲ μηδαμῶς. διὸ δὴ καὶ τῷ Φιλοσόφῳ παραβάλλειν ἔδοξε τῷ διαῤῥέοντι ὕδατι τὴν ὕλην, ὥσπερ αὐτοῦ οὐδὲν μένει μέρος τὸ αὐτὸ, οὕτως οὐδὲ τῆς ὕλης, αὐτὸ τοῦτο καὶ Ἀλέξανδρος βεβαιοῖ πρώτῳ περὶ Φυσικῶν ζητημάτων κεφ. ε΄., ἣν γὰρ ἄν φησι λάβῃς ὕλην καὶ αὐτὴ ῥεῖ καὶ μεταβάλλεται, καὶ οὐδὲν αὐτῆς ταὐτὸ κατ' ἀριθμὸν μένει, εἰδ' αὖτις φαίη ὅτι ἡ μὲν προσιοῦσα διὰ τῆς τροφῆς ὕλη αὐτή ἐστιν ἡ ἀποῤῥέουσα, καὶ οὐκ ἐνδέχεται διαμένειν ἀεὶ, ἡ δὲ πρώτη ἐξ ἧς ἐπλάσθη τὸ ζῶον μένει διὰ παντὸς ἡ αὐτὴ μὴ μεταβάλλουσα, ἀπειρίαν ἔοικε νοσεῖν. αὐτὰ γὰρ τὰ ἐν τοῖς δένδροις ὑπερμεγέθη, οἷον δρῦς, καὶ πίτυς, τὸν ἅπαντα ὄγκον αὐτὸν ἐκ τῆς προσιούσης ἔχει τροφῆς, τὸ γὰρ ἐξ οὗ τὴν ἀρχὴν ἐγένετο σπέρμα λίαν ἐνὶ σμικρὸν, ὥστε κομιδῇ λέγειν ἄτοπον, ὅτι ἡ ὕλη τοῦ σπέρματος ἐξ ἧς ἐφύη τὸ ἔμψυχον σώζεται ἡ αὐτὴ δι' ὅλου τοῦ σώματος, καὶ τῆς λοιπῆς ἀποῤῥεούσης φυλάττει κατ' ἀριθμὸν ταὐτὸ τὸ αὐξόμενον, μάλιστα δὲ τοῖς γε εἰδόσι φανερὸν, ὅτι φύεται τὸ δένδρον οἷον ἐκ γεννητικῆς τινος δυνάμεως, τοῦ σπέρματος αὐτοῦ μένοντος σώου τῆς πρότερον μόνον ἀμοιροῦντος γονιμότητος, φαίνεται ὅτι τῶν σπερμάτων οὐ μόνον



Ε.Υ.Ε.Φ.Κ. τ.II ΙΩΑΝΝΙΝΑ 2006

ὑπομένει τὸ τραχύτερον μέρος, ἀλλὰ καὶ ὁ ξύμπας ἔσω καρπὸς ἀπὸ μέσης αὐτοῦ τῆς ψυχῆς, ὡς ἔπος εἰπεῖν, ἐξ ἀμεγέθους κατὰ τὴν αἴσθησιν μέρους ἀποφυομένης τῆς ῥίζης πρῶτον, ἐξ ἧς δὲ καὶ τῶν λοιπῶν ἁπάντων τοῦ δένδρου κλώνων, διά τοι ταῦτα ἐν τε τῷ συμποσίῳ καὶ ἐν τῷ Φαίδωνι ὁ αὐτὸς παῖς τε ὢν, καὶ ἀνδρωθεὶς οὐ ταὐτὸς εἶναι δοκεῖ κατ᾽ ἀριθμὸν τῷ Πλάτωνι, ἀλλὰ καθεστὼς αὐτὸς ἑαυτοῦ παιδὸς ὄντος διαφέρει. ἐξ ἐναντίας δὲ πλείους εἰσὶ λόγοι μέρη τινὰ τὰ αὐτὰ μένειν ἀποδεικνῦντες. πρῶτον γὰρ εἰ οὐδὲν μέρος ὕλης ταὐτὸ μένει, οὐδὲ τὸ εἶδος ὅλως. συναπορρεῖ γὰρ τοῦτο τῇ οἰκείᾳ ὕλῃ, ὥστε οὐδὲ τὸ συναμφότερον μένοι ἂν ταὐτὸ τῷ ἀριθμῷ. ταὐτὸ γάρ ἐστιν οὐχ ἡ ὕλη ἐστὶν ἡ αὐτὴ, τὸ δὲ ζῶον τελευτῶν μὴ εἶναι αὐτὸ ἐκεῖνο ὅπερ ἐγεννήθη. οὐδεὶς ἄν ποτε νουνεχὴς ἐρεῖ. ἔτι δὲ οὐδὲ τὸ φθῖνον τὴν ταὐτὸ τῷ ηὐξημένῳ. πρὸς τούτοις σκοπός ἐστι τῇ φύσει ὡς ἔοικε σῶσαι διὰ τροφῆς ὡς ἐφικτὸν τὸ αὐτὸ ἄτομον. εἰ δὲ ῥεούσης ἀκαταπαύστως τῆς ὕλης ἐκ τὴν ἂν τὸ αὐτὸ ἄτομον, ἀποβουκολεῖται ὡς ἀληθῶς τῆς οἰκείας ἐνεργείας ἡ φύσις. πρόσθες ὅτι ἐπὶ τῶν τρεφομένων σώζεται τὸ αὐτὸ κατὰ τὸν ἀριθμὸν εἶδος, τοῦτο δὲ ἀδύνατον ἐστὶ, μὴ διατηρουμένου διὰ παντὸς μέρους τινὸς ὕλης τοῦ αὐτοῦ, ἐν ᾧ ὡς ἐν ἀκροπόλει καθιδρυμένον τὸ εἶδος, καὶ τὰ λοιπὰ μέρη διασώζειν ἂν ἔχοι. ἔτι δὲ τὸ δ'. τεμμαχίῳ τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς. διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος ἀΐδια γενέσθαι τὰ στοιχεῖα, ὅτι ἧς τι νοσοῦν ὕλης τούτων ἀπιούσης ἑτέραν ἐνδέχεται προσιέναι, καὶ τὸ αὐτὸ λαβεῖν εἶδος, ὡς εἰ καὶ ἐπὶ τῶν ἐμψύχων πᾶσαν τὴν δυνατὸν ἀπορρεῦσαι τὴν ὕλην, καὶ ἔξωθεν ἑτέραν ἐπιγίνεσθαι τὸ αὐτὸ λαμβάνουσαν εἶδος, τὴν ἂν δυνατὸν ἀθάνατα μένειν τὰ ἔμψυχα, καὶ διάγειν ἀγήρω τινὰ βίον, εἰ γὰρ ἡ προσιοῦσα ὕλη τὴν χώραν ἀεὶ πληροῖ τῆς ἀπιούσης, τίνος ἕνεκεν ἀσθενεῖ προϊόντος χρόνου τὰ σώματα, καὶ γηράσκοντα μαραίνεται, ἔδει γὰρ ἂν μᾶλλον ἀκμάζειν ἀεὶ καὶ μένειν ἀπελαύντα τῆς ἐπιγιγνομένης ὕλης κατὰ συνέχειαν τὴν ἀποφοιτῶσαν ἐπανισώσης. Ταῦτα καὶ Φιλόπονος αὐταῖς λέξεσι μαρτυρεῖ, Οὐκοῦν λέγων οὐ πᾶσαν ὑπονοητέον διαφορεῖσθαι τὴν ὕλην, ἀλλὰ τὰ στερεώτερα μᾶλλον ἀεὶ τὰ αὐτὰ κατ᾽ ἀριθμὸν ὑπομένειν. ὅθεν καὶ ἐν σαρξὶ καὶ ὀστέοις, τὰς ἐκ τραυμάτων οὐλὰς τὰς ἐκ νεότητος εἰ τύχοι γενομένας μέχρι θανάτου μενούσας ὁρῶμεν, ὥστε καὶ τὸ εἶδος αὐτὸ, τὸ αὐτὸ κατ᾽ ἀριθμὸν μένειν ἀνάγκη, τούτοις δὲ καὶ ἰατροὶ προστιθέασι τὰ ἐκ τοῦ σπέρματος ἐν αὐτῇ τῇ πρώτῃ συμπήξει γενόμενα μόρια ὑπομένειν ἀεὶ τὰ αὐτά. διόπερ εἰ τύχοι κοπῆναι οὐκ ἐνδέχεται ἀναγεννηθῆναι, τὰ δὲ ἐξ αἵματος μέρη οὐ τὰ αὐτὰ μένει. ὅθεν καὶ τῇ ἐπιούσῃ τροφῇ πληροῦται διά τινα αἰτίαν ἀφαιρεθέντα. τούτων οὖν ἑκατέρωθεν λεγομένων, καὶ λίαν τὸ λεγόμενον ποιούν-

των ἀμφισβητήσιμον διαιρέσει χρῆσθαι προσήκει εἰς κατάληψιν ἀκριβῆ, κείσθω τοιγαροῦν πρῶτον ὅτι τῶν ζώντων τὰ μὲν ἐστὶν ἀτελῆ, τὰ δὲ τελεώτερα. δεύτερον τὰ μέρη αὐτὰ τὰ αὐτὰ σώζεσθαι, ἢ μηδοτιοῦν ἀλλαττόμενα. ἢ μεταβάλλοντα κατά τινα τούτων ποιότητα. ἐπὶ μὲν οὖν τῶν ἀτελῶν ἐνδέχεται πάντα τὰ μέρη κατὰ σμικρὸν ἀμείβεσθαι, ὥστε μηδὲν ἐν αὐτοῖς μένειν τὸ αὐτὸ ἐξ ἀρχῆς μέχρι τελευτῆς. ἐπὶ δὲ τῶν τελείων τινὰ μὲν μέρη ὑπομένει τὰ αὐτά, ἀλλ᾽ οὐδὲ ταῦτα οὐδαμῇ οὐδαμῶς ἀλλαττόμενα, ὅτι δὲ οὐδὲν ἄτοπόν ἐστι τῶν ἐν τοῖς ζῶσιν ἀτελῶς ὄντων τὰ μέρη πάντως ἀπόρρυτα τίθεσθαι. οὐδ᾽ αὐτὸς ἴσως Ἀριστοτέλης ἀποφάσκει, ὅστις ἐν τῷ δευτέρῳ περὶ ψυχῆς τὰ φυτὰ πλείω μὲν δυνάμει, ἐνεργείᾳ δὲ ἓν εἶναι λέγει. ὁμοίως ἐν τῷ περὶ μακροβιότητος καὶ βραχυβιότητος „τὴν αἰτίαν λαβεῖν βουλόμενος τῆς τῶν δένδρων πολυχρονιότητος. Νέα „γὰρ ἀεί φησι τὰ φυτὰ γίγνεται, διὸ πολυχρόνια, ἀεὶ γὰρ ἕτεροι οἱ „πτόρθοι, οἱ δὲ γηράσκουσι, καὶ αἱ ῥίζαι ὁμοίως, ἀλλ᾽ οὐχ ἅμα, ἀλλ᾽ „ὅτε μὲν μόνον τὸ στέλεχος καὶ οἱ κλάδοι ἀπώλοντο, ἕτεροι δὲ πα„ρεφύησαν, ὅταν δὲ οὕτως ὦσιν αἱ ῥίζαι ἄλλαι ἐκ τοῦ ὑπάρχοντος γί„γνονται, καὶ οὕτως ἀεὶ διατελεῖ τὸ μὲν φθειρόμενον, τὸ δὲ γιγνόμενον, „διὸ καὶ μακρόβια, καὶ τὰ ἑξῆς. ἐν οἷς ὁ Φιλόσοφος μακροβιώτερα τῶν ζώων εἶναι δείκνυσι τὰ φυτά, ὅτι ταῦτα καθ᾽ ἕκαστον ἐνιαυτὸν γηράσκει τε καὶ νέα γίγνεται, τῷ εἶναι μέντοι μικρὸν διαφέροντα, τῇ δὲ ὕλῃ οὐχ οὕτως, τίθησι δὲ καὶ σημεῖον, ὅτι ἐπὶ τῶν φυτῶν οὐ μόνον οἱ πτόρθοι ἀλλὰ καὶ ὁ στέλεχος, καὶ αἱ ῥίζαι ἄλλαι γίγνονται. ἐπὶ δὲ τῶν ζώων οὐκ ἐνδέχεταί τι τῶν μερῶν ἐκκοπὲν ἀναφυῆναι. φανερὸν οὖν ἐστὶν ὅτι οὐδέν ἐστι μέρος ἐπὶ τῶν φυτῶν τὸ αὐτὸ μένον ἀεί, ἐπὶ δὲ τῶν ζώων καὶ πάνυ μὲν ἀναγκαῖόν ἐστιν ἔνια τῶν μερῶν τὰ αὐτὰ μένειν ἀεί, ὃ καὶ Ἀριστοτέλης τῷ τοῦ οἴνου παραδείγματι διδάσκει, ὥσπερ γὰρ ὕδωρ οἴνῳ ἀεὶ πλεῖον μιγνύμενον τέλος ὑδαρῆ ποιεῖ καὶ ὕδωρ, οὕτω διὰ τῆς προσιούσης τροφῆς καὶ ἐπιμιγνυμένης τὰ τοῦ ζῶντος μέρη ἀσθενέστερα γίνεται, ὥστε μὴ δυνάμενα πλείω τῆς ἀπορρεούσης ὕλην προσκρῖναι φθίνειν, τέλος δὲ καὶ φθείρεσθαι. τί δὲ τοῦτο, εἰ μὴ ὅτι ὥσπερ ἐν τῷ οἴνῳ μένειν ἀεὶ δεῖ τι τῶν ἐξ ἀρχῆς, ὅπερ μετρίαν μὲν πάσχει μεταβολήν, οὐ μὴν μεταβάλλει κατ᾽ οὐσίαν, οὕτως ἐστὶ καὶ ἐπὶ τῶν ζώων τινὰ μέρη τὰ αὐτὰ διὰ παντὸς μένοντα τοῦ βίου, τήν τε ἐξ ἀρχῆς σώζοντα ἁρμονίαν, καὶ σύγκρασιν, οὐ μὴν ὅλως ἀναλλοίωτον, ἀλλὰ σμικρόν τι διαφέρουσαν. ὅθεν καὶ τὸ αὐξανόμενον τὸ αὐτὸ κατ᾽ ἀριθμὸν ὑπομένει, ὃ καὶ μᾶλλον ἂν λέγοιτο τῷ ἀριθμῷ οὐ παρ᾽ ἓν μέρος θεωρούμενον καὶ αὐτὸ ἑαυτῷ παραβαλλόμενον, ἀλλ᾽ ἄλλῳ τῳ, ἡ γὰρ νεότης, καὶ ἡ ἀκμή, καὶ τὸ γῆρας οἷον Σωκράτους ἐν τῷ Σωκράτει μόνον, ἀλλ᾽ οὐκ ἐν τῷ Πλάτωνι τὰ

αὐτά,

ΙΩΑΝΝΙΝΑ 2006

αὐτὰ, ὅθεν ὁ αὐτὸς κατ᾽ ἀριθμὸν Σωκράτης τοιαύτην ἔσχηκε νεότητα καὶ ἀκμὴν, καὶ γῆρας. οὐ μήν γε ἄλλος τις ἀνθρώπων. Τούτων οὕτως διακρινηθέντων καὶ τὴν μέσην ὁδὸν βαδίσαντες ῥᾳδίως ἀποπτύσωμεν τοὺς ἀντιθέτους ἐκ διαμέτρου λόγους. τοῖς μὲν γὰρ ἀμείβεσθαι πάντα τὰ μέρη λέγουσιν ἀλλάττεσθαι σμικρὸν εἴπωμεν, ἀλλ᾽ οὐ παντελῶς, τοῖς δὲ τὰ αὐτὰ μένειν διϊσχυριζομένοις, μένειν μὲν ἀλλ᾽ οὐκ ἀπαραλλάκτως. ἀλλὰ καὶ καθ᾽ ἓν ἀπαντήσωμεν αὐτοῖς. ἐλέγετο πρῶτον ὅτι μὴ μενόντων τῶν αὐτῶν μερῶν οὐκ αὖ τὴν ἓν τῷ ἀριθμῷ τὸ αὐξόμενον. ἔστι δὲ ἀληθῶς ἓν τῇ τε τῶν ἀναφυομένων μερῶν ὁμοιότητι, καὶ ὅτι οὐχ ἅμα ἡ ὕλη ἀμείβεται πᾶσα, καὶ ὅτι τὸ τρεφόμενον οὐκ αὐτὸ πρὸς ἑαυτὸ θεωρεῖται, ἀλλὰ πρὸς ἄλλο, πρὸς ὃ ἕτερόν ἐστι τῷ ἀριθμῷ. ἔτι δὲ καὶ ὅτι καθ᾽ ἑαυτὸ καθ᾽ ὅλην τὴν ἡλικίαν αὐτοῦ λαμβανόμενον ἕν ἐστιν, ὃ καὶ μίαν ἔσχηκε νεότητα, καὶ ἀκμὴν, καὶ γῆρας. ἔτι δὲ ὅτι τὸ αὐτὸ μένει ὄνομα καὶ ἡ ὑπογραφὴ τοῦ ἀτόμου, ἐπιτυγχάνει δὲ καὶ ἡ φύσις τοῦ οἰκείου σκοποῦ, οὐ γὰρ δίχα τινὸς ῥύσεως ὕλης ἐφίεται σῶσαι τὸ αὐτὸ ἄτομον, ἀλλὰ μετὰ διαφορήσεως καὶ συνεχοῦς ἐπιῤῥοίας. ἡ δὲ παρ᾽ Ἀριστοτέλους προκομισθεῖσα μαρτυρία ὅτι τοῦ αὐτοῦ μένοντος εἴδους ἀνάγκη καὶ τὴν ὕλην μένειν τὴν αὐτὴν ἀνωτέρω διευκρίνηται, ὅτι εἶδος ὁ λόγος καὶ τὸ τί ἐστι λέγεται, ἀλλ᾽ οὐ θάτερον τοῦ συνθέτου μέρους. ἀλλ᾽ οὐδὲ μένειν ἀθάνατα τὰ τρεφόμενα δυνατὸν, ἀεὶ γὰρ διὰ τῆς ἐπιγιγνομένης ὕλης ἀσθενέστερα γίγνεται, καὶ λείπεται ἐπὶ τὸ χεῖρον. ἐπὶ δὲ τῶν στοιχείων ἄλλως ἔχει, ταῦτα γὰρ ὁμοιομερῆ εἰσι, καὶ τὰ τούτων μέρη οὐ δεῖται τῆς τοῦ γεννήσαντος διαμονῆς εἰς τὴν οἰκείαν αὐτῶν σωτηρίαν. ἀλλ᾽ ὑπομένουσι φθαρέντος τοῦ γεννήσαντος, ἐπὶ δὲ τοῦ ζώου τὸ προσιὸν μέρος δεῖται τῆς σωτηρίας τοῦ ὑπάρχοντος, καὶ τούτου κάμνοντος ἀσθενεῖ, καὶ φθείρεται μεταβάλλοντος. διόπερ τῶν γηρασκόντων τὰ σώματα ξηρότερα γίγνεται δαπανηθείσης τῆς τῶν μερῶν ἀρχεγόνου ὑγρότητος. Τούτων οὕτως ἐχόντων δῆλον ἐστὶν ὡς μὲν μένει τὸ αὐτὸ, ὡς δὲ οὐ μένει τὸ αὐξανόμενον, ἐκεῖνο δὲ ὧδε προσθῶμεν πῶς καὶ τὸ αὐτὸ σώζουσι σχῆμα τὰ αὐξανόμενα, ὥστε τὸν Σωκράτην ἀνδρωθέντα τε καὶ παῖδα ὄντα τὸ αὐτὸ ἔχειν σχῆμα, καὶ γὰρ λίαν ἀρεσκόμενον τοῖς καθόλου τὴν φύσιν ὑπὸ τοῦ νοὸς ἰθυνομένην σώζειν εἰρήκασι τὸ σχῆμα, ἄλλοι δὲ σώζεσθαι κατὰ τὸ σχῆμα τὸ αὐτὸ φασὶ, τὸ αὐξανόμενον, ὅτι ἀνάλογον ὁπωσοῦν μέρει ἡ ὕλη πρόσεισι, καὶ τοῦτο μὲν ἀληθές ἐστι. διόπερ. εἰ τύχοι μὴ ἀνάλογον τρέφεσθαί τι μέρος, τότε σχῆμα λυμαίνεται τοῦ ὅλου, καὶ οὐκ ἔτι σώζεται τὸ αὐτὸ, αἰτία δὲ τοῦ τρέφεσθαι καὶ αὔξεσθαι ἀναλόγως ἡ ἔμφυτος θερμότης ἰσοτίμως ἁπανταχοῦ ἐνεργοῦσα. εἰ δὲ καὶ πλείων ἡ ταύτης ἐνέργεια ἐν τῇ καρδίᾳ, καὶ ἐν τοῖς κοινοῖς τοῦ ζώου ὀργάνοις φαίνηται, διατρίβει μέν τοι γε οὐ περὶ



ΙΩΑΝΝΙΝΑ 2006

τὴν τῆς τροφῆς μεταβολὴν εἰς τὴν τοῦ μέρους οὐσίαν, ἀλλὰ περὶ τὴν κατασκευὴν αἵματος, πνευμάτων, καὶ τῶν τοιούτων, καὶ ταῦτα μὲν ἅλις περὶ τῆς προτεθείσης ἀπορίας.

## Πότερον τοῦ αὐξανομένου ὁτιοῦν μέρος ἐπιδίδωσι κατὰ μέγεθος.

Ἐπειδὴ ἀνωτέρω λέλεκται, ὅτι τοῦ αὐξομένου ὁτιοῦν μέρος αὔξεται, διακλονεῖν ἔνιοι πειρῶνται τὴν ἀλήθειαν ταύτην λόγων πλοκαῖς, πρῶτον γὰρ φασιν, εἰ ὁτιοῦν μέρος αὔξεται προσιόντος ἔξωθέν τινος, ἢ διήκοι ἂν σῶμα διὰ σώματος, ἢ πρόσεισιν ἡ τροφὴ διαιροῦσα τὸ ζῶον, ἄμφω δὲ ἄτοπα, τό,τε κατακερματίζεσθαι τὸ τοῦ ζῶντος σῶμα, καὶ τὸ διέρχεσθαι σῶμα διὰ σώματος, τῷ μὲν γὰρ ἡ φύσις μάχεται, τῷ δὲ τῶν τρεφομένων ἕκαστος ἀντιμαρτυρεῖ ἡδονὴν μὲν, ἀλλ' οὐ πόνον αἰσθανόμενος προσγινομένης τῆς τροφῆς. Δεύτερον πολλά τινα μέρη ἐν τοῖς ζῶσι ξηραίνεται, καὶ τῶν λοιπῶν αὐξομένων φθίνει, ὡς ἐπὶ τῶν καχεκτούντων παίδων γίγνεται δῆλον, τούτων γὰρ ἡ μὲν κοιλία ἐπὶ πλεῖστον αὔξεται, μειοῦνται δὲ οἱ πόδες. Τρίτον εἰ ὁτιοῦν ἐλάχιστον μέρος αὔξεται, ἐπειδὴ δὴ τοῖς ἐλαχίστοις οὐ πρόσεισι τοῦ ἐλαχίστου ἔλαττον ἀνάγκη τὰ ἐλάχιστα προσιόντων ἐλαχίστων ἐν διπλασίονι γίνεσθαι μεγέθει, ὃ τῇ ὁσημέραι αὐτοψίᾳ πολέμιόν ἐστι. Τέταρτον εἰ ὁποῦν μέρει τοῦ αὐξανομένου προστίθεται ὕλη, ἔδει ἂν αὐξάνεσθαι τὰ ζῶα ἐπίσης οὐ μόνον κατὰ μῆκος, ἀλλὰ καὶ κατὰ Πλάτος, καὶ βάθος, τοῦτο δὲ ὁμοίως ἐναντίον ἐστὶ τῇ πείρᾳ. ἀλλ' οὐδ' ἄν τις φαίη διὰ τῶν ἐν τῷ σώματι πόρων δύνασθαι καθ' ὁτιοῦν ἐπιδιδόναι μέρος τὸ αὐξόμενον, καὶ μὴ τὰ ῥηθέντα συμβαίνειν ἄτοπα. Πρῶτον γὰρ τιθεμένων τῶν πόρων ἡ τοῦ ὅλου συνέχεια διαλύεται. οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν πόρων ζητεῖν ἔξεστιν εἰσὶ κενοὶ ἢ οὔ; καὶ τὸ μὲν κενοὺς φάναι ἄτοπον, εἰδὲ σώματος εἰσὶ πλήρεις τὰ αὐτὰ ἕψεται ἄτοπα. Δεύτερον εἰ διὰ τῶν πόρων ἡ τροφὴ προσέρχεται, οὐκ ἂν ηὐξήθη τὸ ὅλον, ἀλλὰ μᾶλλον ἂν ἐπλήσθη καταλαβούσης τῆς τροφῆς τοὺς ἐν τῷ σώματι πόρους, εἰδὲ γίνεσθαι πάλιν νέους πόρους ἐρεῖ τις, καὶ διὰ τοῦτο γίνεσθαι αὔξησιν κατὰ μέγεθος, ἀντιλέγει τῷ Φιλοσόφῳ, ἅμα τῇ τῆς τροφῆς μεταβολῇ εἰπόντι γίνεσθαι τὴν αὔξησιν. Τρίτον οὐκ ἔστι ῥᾴδιον συνιέναι πῶς οἱ τοιοῦτοι γίνονται πόροι, ἔτι δὲ τῶν πόρων ἐντὸς ὄντων τοῦ σώματος, πῶς μὴ διὰ σώματος ἡ τροφὴ διιοῦσα καταλαμβάνει τοὺς πόρους. Εἰς διευκρίνειαν οὖν καὶ λύσιν τῆς ἀπορίας ταύτης φαμὲν, ὅτι ἐν τῷ τοῦ ζῶντος σώματι πλεῖους εἰσὶ πόροι, καὶ μέρη στερεὰ, οὐ μὴν ἐ-

λάχι-

ΙΩΑΝΝΙΝΑ 2006

λάχιστα, ἀλλ' ἴσα, καὶ μείζω, καὶ ἐλάσσω, κατὰ τὴν ἐν τούτοις διάφορον ἁρμονίαν καὶ σύγκεισιν, ὥσπερ οὐδὲ οἱ πόροι ἀλλήλοις εἰσὶν ἴσοι καὶ τοὺς μὲν πόρους ὑποδέχεσθαι τὴν προσιοῦσαν τροφὴν, ἀλλ' οὐκ αὐτοὺς αὔξεσθαι, αἰτία μὲν ποιητικὴ τῶν πόρων ἡ ἔμφυτος θερμότης δαπανῶσα τί μέρος, ἀεὶ καὶ διαλύουσα, ὥστε ἐκ τῶν ἀτμῶν τοῦ διαλυθέντος μέρους διαλείμματα γίνεσθαι τινὰ, καὶ κενώματα ἐν ὁπωοῦν μέρει τοῦ ζῶντος, τελικὴ δὲ ἡ τοῦ περιττοῦ διαφόρησις. διαπνεούσης γὰρ τῆς διαλυθείσης ὕλης ἄσηπτον ὑπομένει τὸ σῶμα. ἔτι δὲ ἡ τῆς τροφῆς διανέμησις περαιουμένη διὰ τῶν πόρων, τῆς γὰρ τροφῆς ὀχετοὶ μὲν αἱ ἀρτηρίαι δι' ὧν εἰς ἅπαν τὸ σῶμα ἡ τροφὴ φέρεται. τῆς γὰρ ἀρτηρίας οἷον τὸ στέλεχος ἀπὸ τῆς καρδίας ἀνακύπτον εἰς μυρίους κλάδους διατέμνεται, καὶ ὁπωοῦν μέρει τοῦ σώματος ἐνσπείρεται καταρδεῦον αὐτὸ τῇ μετοχετευομένῃ τροφῇ. παρὰ δὲ τῆς ἀρτηρίας οἱ πόροι ἐν αὐτῇ τῇ οὐσίᾳ συχνοὶ τυγχάνοντες τὴν ἀπὸ τῶν ἀρτηριῶν ὑγρότητα διαδεχόμενοι κομίζουσιν ἐντὸς τῆς τοῦ μέρους οὐσίας. καὶ γὰρ εἰ ἐν ὁπωοῦν μέρει καθ' ἑαυτὴν ἡ ἀρτηρία τὴν τροφὴν ἔφερεν, οὐκ ἂν εἶχε τὰ μέρη ἀλλοιοῦν καὶ μεταβάλλειν αὐτὴν κωλυόμενα τοῖς χιτῶσι τῶν ἀρτηριῶν. ἐξ ὧν φανερόν ἐστιν ὅτι ἀναγκαῖοί τε εἰσὶν οἱ πόροι, καὶ ὅτι οὐδέποτε κενοὶ λείπονται, ὁτὲ μὲν αἵματι, ὁτὲ δὲ ἀτμῷ πληρούμενοι. Σημειωτέον δὲ ὅτι διελθούσης διὰ τῶν πόρων τῆς τροφῆς οὐ γίγνεται ἡ αὔξησις, ἀλλὰ μεταβαλλούσης εἰς τὸ ὅμοιον, ἡ γὰρ αὔξησις οὐ κατὰ παράθεσιν μόνον ποσοτικὴν, ἀλλὰ καὶ μεταβολὴν τοῦ προσιόντος ἀποτελεῖται. ὅθεν μεταβάλλον εἰς ἑαυτὸ τὸ αὐξόμενον τὴν προσιοῦσαν ὕλην διὰ τῆς θερμότητος, ἀτμόν τινα ταύτης ἐξάγει. ὑπὸ δὲ πόρους ἑαυτοῦ παρασκευάζον μεθίησι τὴν τροφὴν ἐνδότερον, ὥστε παντὶ περικεχύσθαι μέρει. ἐξ ὧν φανερόν ἐστιν ὅτι ἐν τῷ αὐτῷ χρόνῳ ἡ τῆς τροφῆς γίγνεται ἀλλοίωσις, καὶ ἡ τοῦ ἀτμοῦ ἐξαγωγὴ, καὶ τῶν πόρων ἡ γένεσις καὶ αὔξεται τὸ αὐξόμενον, καὶ ταῦθ' ὁμοίως ἐπὶ πάντων γίγνεται τῶν μερῶν· εἰ μὴ ὅτι τὰ μὲν στερεώτερα μέρη, ὥσπερ οὐδὲ αὔξεται διὰ παντὸς, οὕτως οὐδὲ διαλύεται ἑκάστοτε. τὰ δὲ λοιπὰ μέρη τήν τε τροφὴν καὶ αὔξησιν φανερωτέραν ποιεῖ, καὶ τὴν διάλυσιν ὁμοίως πάσχει, ὡς ἰδεῖν ἐστιν ἐπὶ τῶν κεκμηκότων. κἀκεῖνο δὲ ἐπιστάσεως ἄξιον ὅτι καθ' ἡντιναοῦν διάστασιν ἐπιδίδωσι τὸ αὐξόμενον ἀνάλογον ὅμως. μᾶλλον γὰρ ἐπιδίδωσι κατὰ μῆκος, ἀεὶ τοῦ θερμοῦ φύσει ἄνω φερομένου. τούτων δὲ οὕτως ὑποκειμένων ὡς ἀράχνης ἱστὸς οἱ ἐναντίοι διασκεδάζονται λόγοι. Πρῶτον γὰρ οὔτε διαίρεσις δίδοται, οὔτε διέλευσις διανεμομένης τῆς τροφῆς, καὶ προσιούσης διὰ τῶν πόρων. Δεύτερον παρὰ φύσιν ἐνδέχεται μὴ ἀνάλογον τρέφεσθαι τὰ μέρη, εἴτε διὰ ἀσθένειαν τῆς ἔν τινι μέρει θερμότητος, εἴτε δι' ἔμφραξιν πόρων. ὁ δὲ Φιλόσοφος οὐ

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

τὰ παρὰ φύσιν διδάσκει, καὶ ἅπαξ γινόμενα, ἀλλὰ τὰ κατὰ φύσιν καὶ ὡς ἐπὶ τὸ πολύ. Τρίτον οὐκ ἀληθὲς ὅτι τοῖς ἐλαχίστοις ἀεὶ προστίθεται ἐλάχιστον, καθάπερ γὰρ οὐκ ἔστιν ὁ αὐτὸς λόγος ὀστοῦ καὶ σαρκὸς καὶ αἵματος, οὕτως οὐδὲ τῷ τοῦ ὀστοῦ ἐλαχίστῳ ἴσον τὸ τοῦ αἵματος ἐλάχιστον, ἀλλὰ τοῦ ἐλαχίστου ὀστοῦ ἐνδέχεται ἔλασσον εἶναι τὸ τοῦ αἵματος ἐλάχιστον. ἔτι δὲ οὐκ ἐν διπλασίονι μεγέθει γίγνεται τὸ αὐξόμενον ἀεὶ ἐξατμιζομένου τοῦ προστιθεμένου καὶ τοῦ ᾧ προσετέθη παρὰ τῆς ἐν αὐτῷ θερμότητος, εἰ γὰρ αὖ οὐκ ἐγένετο ἡ τοιαύτη διάλυσις, ἴσως ἐν βραχεῖ χρόνῳ διπλάσιον ἐγένετο τὸ ηὐξημένον. Τέταρτον εἴρηται ὅτι οὐκ αὔξεται ἐπίσης καθ' ἡντιναοῦν διάστασιν τὸ αὐξόμενον, ὁμοίως δὲ καὶ πρὸς τὰ λοιπὰ ῥᾴδιος ἡ ἀπάντησις, τίνος γὰρ πλήρεις εἰσὶν οἱ πόροι, καὶ ὅπως ἀλλήλους διαδέχονται ἀποχρώντως εἴρηται.

## Λύσις τῶν περὶ τὴν αὔξησιν προβαλλομένων.

Ἐπειδὴ καθ' ὁτιοῦν μέρος αὐτῶν ἀνάλογον ἐπιδίδωσι κατὰ μέγεθος τὰ ζῶντα, ὧν ἴδιόν ἐστι διὰ τῆς θρεπτικῆς αὔξεσθαι δυνάμεως πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τοῖς σοφωτέροις ἀποδέδοται τῆς εὐτάκτου ταύτης αὐξήσεως αἴτιον, ὅτι τοῖς ζῶσιν ἁρμόζει μόνοις τὸ περιέχεσθαι σχήματι ὡρισμένῳ, τοῦτο δὲ ἐν τῇ τῶν μερῶν ἀναλογίᾳ καὶ ὁμοιότητι πρὸς ἄλληλα τέτακται, καὶ φανερὸν μὲν ἐν πᾶσι τοῖς ἐμψύχοις, φανερὸν δὲ μάλιστα ἐν οἷς τὸ ζῆν καθαρώτερόν ἐστι καὶ λαμπρότερον, ὅθεν ἀκριβέστατον μὲν ἐστὶν ἐν ἀνθρώποις τὸ σχῆμα καὶ πάντως ἐξαίρετον, μετὰ δὲ τούτους ὧν ἐστι τὸ αἰσθητικὸν εἶδος. καὶ τέως ἐν τοῖς φυτοῖς ἃ τὸ σχῆμα σώζει τῶν λοιπῶν ἀμυδρότερον. ἀλλ' ὅμως οὐχ οὕτω σώζεσθαι τὴν μορφὴν οἰητέον, ὥστε μηδεμίαν ἐν ταύτῃ παραλλαγὴν οἷαντε εἶναι, ἀλλὰ φυλάττεσθαι καὶ μέχρι σημείου τὴν ἀναλογίαν. ἐξ ὧν ἀπορίαι τινὲς ἀνακύπτουσιν ἃς ἐπιλῦσαι χρεών. Ζητεῖται τοιγαροῦν πρῶτον. τίνος ἕνεκεν ἐν τῇ καθεστώσῃ ἡλικίᾳ ἡ μὲν σὰρξ τρέφεται καὶ αὐξάνει, τὰ δὲ νεῦρα καὶ τὰ ὀστᾶ μηδαμῶς; οἱ μὲν οὖν ἰατροὶ αἰτίαν ἀποφαίνονται, ὅτι ὀστᾶ μὲν καὶ νεῦρα σπερματικὰ ὄντα, μετὰ τὴν ἀκμὴν καὶ τελείαν αὔξησιν στερεωθέντα οὔτε αὔξεται οὔτε φθίνει. σὰρξ δὲ καὶ ὅσα ἐξ αἵματος γίγνεται, καὶ αὔξεται καὶ μειοῦται δι' ὅλης τῆς ἡλικίας. ἀλλ' ἐπειδὴ κατὰ τὸν Φιλόσοφον οὐδέν ἐστι μέρος ἐκ σπέρματος ἐν τοῖς ζώοις, ἀλλὰ γίνεται πάντα ἐξ αἵματος οὐκ ὀρθῶς ἔχειν δοκεῖ ἡ τοιαύτη διαίρεσις, ἀλλὰ ῥητέον. ὅτι τὰ νεῦρα καὶ τὰ ὀστᾶ ἐν μὲν τοῖς βρέφεσιν ἅτε ἀραιότερα ὄντα καὶ μαλακώτερα ἐκτείνεσθαι δύναται, μετὰ δὲ τὴν ἀκμὴν σκληρότερα γινόμενα καὶ στερεώτερα, οὐχ οἷά τε ἐστὶν ἐξογκωθῆναι καὶ λαβεῖν μέγεθος

μετ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ... Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεῖζον. Ζητεῖται δεύτερον. τίνος ἕνεκα ἐν μὲν τῇ νεότητι κατὰ μῆκος μᾶλλον αὐξάνει τὰ ζῶα, μετὰ δὲ τὴν ἀκμὴν κατὰ πλάτος μόνον; ἢ ὅτι κατ' ἀρχὰς μὲν ἡ θερμότης ὡς ἰσχυροτέρα μᾶλλον ἄνω φέρεται, ἢ αὔξεται μὲν κατὰ μῆκος τὸ ζῶον ἐπ' αὐτῆς τῆς νεότητος τῶν νεύρων καὶ τῶν ὀστέων ἐπιδιδόντων διὰ τὴν ἐν ἐκείνῳ τῷ χρόνῳ μαλακότητα τούτων, ἐπὶ δὲ τῆς καθεστηκείας ἡλικίας, τῆς σαρκὸς μόνον αὐξανομένης, τῶν δὲ νεύρων καὶ ὀστέων οὐκ ἐκτεινομένων εἰς μεῖζον πλάτος χωρεῖ τὸ ζῶον. ἢ ὅτι πρῶτον ἡ φύσις τῶν στερεωτέρων μᾶλλον ἐπιμελεῖται μελῶν ὡς ἐχόντων βάσεως λόγον, εἶτα δὲ καὶ τῶν περὶ αὐτὰ μορίων, οἷον σαρκὸς καὶ τῶν τοιούτων. Ζητεῖται τρίτον. ὅτι χάριν ἀεὶ τρεφόμενα τὰ ζῶα οὐκ ἀεὶ αὐξάνει τῆς τροφῆς οὔσης οὐκ ἀμαγέθης; ἢ ὅτι ἡ θερμότης ἰσχυροτέρα τὴν ἀρχὴν οὖσα τοῦ ὑπεκρέοντος πλεῖον ἐπιλαμβάνει, ὥστε καὶ τὴν προσιοῦσαν τροφὴν οὐ μόνον ἀναπληρῶσαι τὴν ἀπογινομένην ὕλην, ἀλλὰ καὶ μέγεθος μεῖζον προσθεῖναι. Ζητεῖται τέταρτον. πότερον ἡ τῆς αὐξήσεως ἀρχὴ ἐνδογενής ἐστι τῷ ὄντι; καὶ ποῦ τέτακται; καὶ γὰρ ἀντιλέγειν δοκεῖ αὐτῷ ὁ Φιλόσοφος ἐν μὲν τῷ λδ'. τεμμαχίῳ τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς, τὸ ἀλλοιοῦν εἰπὼν καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἐν τῷ αὐξανομένῳ, καὶ τῷ ἀλλοιουμένῳ ἐστί. καὶ τοῦτ' αὐτὸ ἐν τῷ δευτέρῳ περὶ ψυχῆς ἐπιβε-
„ βαιοῖ, ἐν δὲ τῷ τετάρτῳ περὶ οὐρανοῦ, μορίῳ κδ'. Πλὴν ὅτι φησὶ
„ τὰ μὲν ἐν ἑαυτοῖς δοκεῖ ἔχειν ἀρχὴν τῆς μεταβολῆς, λέγω δὲ τὸ βα-
„ ρὺ καὶ τὸ κοῦφον, τὰ δὲ οὔ. ἀλλ' ἔξωθεν, οἷον τὸ ὑγιαστὸν ἢ τὸ αὐ-
„ ξητόν, ὁμοίως καὶ ὀγδόῳ Φυσικῶν, μορίῳ κ'. καὶ να. μόνη φορᾷ κινεῖν ἑαυτὰ λέγομεν τὰ ζῶα. ὅτι δὲ οὐδὲ ποῦ τάττεσθαι φανερὸν τὴν τοιαύτην δύναμιν, καὶ γὰρ ὁ αὐτὸς Φιλόσοφος ἐν τῷ περὶ νεότητος καὶ γήρως τὴν τῆς αὐξήσεως ἀρχὴν ἐν τῷ μέσῳ, καὶ οἷον τῷ κέντρῳ τίθησι τοῦ ζῶντος, ἐν δὲ τῷ δευτέρῳ περὶ οὐρανοῦ, μορίῳ η'. ἔστι δέ φησιν ἀπὸ μὲν τοῦ ἄνω ἡ αὔξησις, ἢ ὅτι ἔξωθεν φησὶν ὁ Φιλόσοφος γίνεσθαι τὴν αὔξησιν διὰ τὴν προσιοῦσαν τροφήν, ἔσωθεν δὲ καὶ ἐξ αὐτοῦ τοῦ αὐξομένου διὰ τὴν ἐν αὐτῷ δύναμιν. Ἔτι δὲ διττῆς οὔσης τῆς ἀλλοιωτικῆς δυνάμεως τῆς μὲν προσεχοῦς, τῆς δὲ πόῤῥω, καὶ προσεχὴς μέν ἐστιν οἷον ἡ τοῦ φαρμάκου δύναμις ἡ ἀλλοιοῦσα τὸν στόμαχον, πόῤῥω δὲ ἡ εἰς ἐνέργειαν ἀνάγουσα τὴν τοῦ φαρμάκου δύναμιν. ταύτην μὲν ὁ Φιλόσοφος ἐν τῷ αὐξομένῳ τίθησι καὶ τῷ ἀλλοιουμένῳ. οὐ γὰρ αὖ τὸ πέφυκε θερμαίνει πρὶν ἢ γένοιτο θερμὸν ἐνεργείᾳ. ἐκείνην δὲ ἐν αὐτῷ τῷ ἀλλοιοῦντι. ὁμοίως δὲ καὶ ἡ τῆς αὐξήσεως ἀρχὴ ἀπὸ μὲν τῆς πρώτης πέψεως θεωρουμένη ἐκ τοῦ στόματός ἐστι καὶ ἀπὸ τοῦ ἄνω, ἀπὸ δὲ τῆς τελείας πέψεως ἐν τῷ μέσῳ γίγνεται, καὶ ἐν αὐτοῖς τοῖς ἐντοσθίοις. Ζητεῖται πέμπτον. διατί τὰ μὲν ἄψυχα ἅμα γινόμενα τέλειον ἔχει τὸν οἰκεῖον

ὄγκον,

Ε.Υ. τμ. Φ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὄγκον, τὰ δὲ ἔμψυχα μηδαμῶς; ἢ ὅτι τὰ ἔμψυχα ἀνομοιομερῆ ὄντα, ἐνδέχεται αὐτὰ ἑαυτὰ τελειοῦν, τὰ δὲ ἄψυχα οὐ δύναται διὰ τὸ μὴ ἔχειν ἕτερον μέρος κινοῦν, θάτερον δὲ κινούμενον. ἢ ὅτι τὰ μὲν ἄψυχα ἐν ὁποιῳοῦν μεγέθει τέλεια φαίνεται ὡς ἀποχρῶντος εἰς τὴν ὕπαρξιν τούτων παντὸς μεγέθους, οὐ μὴν δὲ τὰ ἔμψυχα. Τελευταῖον ζητεῖται τίνος ἕνεκα τὰ βρέφη μείζω τὴν κεφαλὴν ἔχει, ὥς γε πρὸς τὰ λοιπὰ μέρη; ἢ ὅτι ὡς ὁ Φιλόσοφος δευτέρῳ περὶ ζώων Ἱστορίας κεφ. α. φησιν, ὑγροῦ καὶ ψυχροῦ τοῦ ἐγκεφάλου ὄντος πλείω περιττώματα εἰς κεφαλὴν συνείλεκται. ὧν χρόνου προϊόντος κατηναλωμένων μᾶλλον ἡ κεφαλὴ συστέλλεται. τούτοις πρόσθες ὅτι τὰ ζῶα ὡς ἐπὶ σφαιροειδῶς αὔξεται, ἢ ὅτι τὴν τελεωτάτην οὐσίαν ἐν αὐτοῖς ἡ φύσις μιμεῖται κατὰ τὸ δυνατὸν αὐτῇ, ἢ ὅτι τοῦ ἐμφύτου θερμοῦ κατὰ σφαῖραν τὴν οἰκείαν προβάλλοντος ἐνέργειαν, τοῦτο μάλιστα τὸ σχῆμα συνέπεται τῇ αὐξήσει.

## Περὶ φθίσεως, καὶ πῶς ἐστι τοῦ κακοῦ καὶ τῆς στερήσεως αἴτιον ἐν τοῖς οὖσι.

Ἐπειδὴ περὶ αὐξήσεως ἔφθημεν ἀνωτέρω εἰπόντες, καὶ περὶ φθίσεως ἤδη διὰ βραχέων ἔξεστι διεξιέναι. ἐκεῖνο δὲ πρότερον ἀνάγκη ζητῆσαι πότερον ἔστι φθίσις; καὶ γὰρ οὐκ εἶναι δοκεῖ τῆς θερμότητος εἰ μὲν ἰσχυρὰ εἴη αὐξανούσης, εἰ δὲ ἀσθενὴς κἂν γοῦν μὴ διαλειπούσης, οὔτε φθίσιν ποιούσης. ἔτι δὲ στέρησις ἐστὶν ἡ μείωσις καὶ κακὸν ὡς ἅτε ὁδὸς εἰς φθορὰν, τοῦ δὲ κακοῦ ποιοῦν οὐκ ἔσται. τὸ γὰρ ἐνεργοῦν διά τι τέλος ποιεῖ, τοῦτο δὲ ἀγαθὸν ἀεί ἐστιν. ὅθεν καὶ ἐν τοῖς Νικομαχείοις ὁ Φιλόσοφος πᾶσαν τέχνην καὶ ἐνέργειαν καὶ ποίησιν ἀγαθοῦ, χάριν εἶναι φησι, καὶ Σιμπλίκιος εἰς Ἐπίκτητον τὸ κακὸν ἄμοιρον τοῦ εἶναι, καὶ τοῦ ποιοῦντος, καὶ τοῦ τέλους φησίν. ἔτι δὲ τὸ κινούμενον ἀνάγκη τὸ αὐτὸ μένειν, τὸ δὲ μειούμενον οὐχ ὑπομένει τὸ αὐτό. ἄρ' οὐκ ἔσται μειώσεως κίνησις. Τελευταῖον οὔτε τὸ ὅλον τὸ πρὸ τῆς φθίσεως μειοῦσθαι λέγεται ὡς μὴ τὸ αὐτὸ ὄν, οὔτε τὸ μετὰ τὴν φθίσιν ὑπομένον, τοῦτο γὰρ οὐκ ἦν μεῖζον. ἐξ ἐναντίας δὲ οὐ φθίσεως μόνον, ἀλλὰ καὶ ἁμαρτημάτων αἰτίαι εἰσὶ καὶ νόσων καὶ στερήσεων, ὃ καὶ ὁ Φιλόσοφος ὑποδηλοῖ, ὀγδόῳ Φυσικῶν, μορίῳ ζ'. ἣν γάρ τι λέγων αἴτιον τῆς ἠρεμίας, ἡ γὰρ ἠρέμησις στέρησις τῆς κινήσεως. εἰσὶ τοίνυν στερήσεως ἀρχαὶ ὑλικὴ μὲν καὶ ποιητικὴ, εἰδικὴ δὲ μηδαμῶς, εἶδος γὰρ οὐκ ἔστι στερήσεως, ἀλλ' αὐτή πως ἐστὶ μορφή. Τούτων οὖν οὕτως ἠπορημένων, δεῖ πρῶτον εἰδέναι, ὅτι κακὸν τὸ μὲν ὡς ἄρνησις, τὸ δὲ ὡς στέρησις, τὸ δὲ ὡς παρεκτροπὴ καὶ φαυλότης τοῦ ἐνυπάρχοντος εἴδους, καὶ ἡ μὲν ἄρνησις ὅλως οὐδέν ἐστιν, ἡ

δὲ

ΙΩΑΝΝΙΝΑ 2006

δὲ στέρησις καθ' ἑαυτὴν μὲν οὐδὲν, ὑποτίθησι δὲ δεκτικὸν ὑποκείμενον, ἡ δὲ φαυλότης τήν τε ὕλην ἐνδείκνυσι, καὶ τὸ εἶδος ἄλλως, ἢ ὡς εἰκὸς ἔχων. Δεύτερον ὡς δευτέρῳ Φυσικῶν, μορίῳ λη'. καὶ β'. τῶν ὑστέρων ἀναλυτικῶν λέγεται αἴτια λαμβάνειν ἀεὶ δεῖν τὰ τοῖς ἐνεργουμένοις ἁρμόζοντα, οἷον τῶν μὲν ἀρνήσεων ἀρνητικὸν ὑποθέσθαι τὸ αἴτιον, στερητικὸν δὲ τῆς στερήσεως. Τρίτον τῶν αἰτίων τὰ μὲν εἶναι καθ' ἑαυτὸ, τὰ δὲ κατὰ συμβεβηκός. Τούτων οὖν ὑποκειμένων οὕτως, ὅτι τῶν κακῶν ὑλικῶν ἐστιν αἴτιον, φανερόν. τό, τε γὰρ γῆρας καὶ τὰ νοσήματα ἐκ τῆς ὕλης ἐστὶ, περὶ δὲ τοῦ ποιητικοῦ ἀμφισβητεῖται μάλιστα, δι' ὃ ῥητέον, ὅτι τῶν κακῶν ποιητικόν ἐστιν αἴτιον κατὰ συμβεβηκὸς, οὐ μὴν δὲ καθ' αὐτὸ, ἀεὶ γάρ τινος χάριν ποιεῖ τὰ ποιητικά. ὥστε μὴ τῶν κακῶν ἐργαστικὰ γίνεσθαι, ἀλλ' ἢ κατὰ συμβεβηκός. περὶ δὲ φθίσεως ἥτις ἡμῖν πρόκειται, δεῖ εἰδέναι ὅτι οἷον φθορά πως ἐστιν, ἔστι γὰρ εἰς φθορὰν ὁδὸς, καὶ οὐκ αὐτὴ φθορᾶς τινὸς ἀποτελεῖται, ὃ καὶ ὁ Φιλόσοφος αἰνίττεται δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ νζ'. καὶ τῷ ἴσῳ χρόνῳ λέγων ἡ φθορὰ καὶ ἡ γένεσις ἡ κατὰ φύσιν. φθορὰν γὰρ νοεῖ τὴν φθίσιν, γένεσιν δὲ τὴν αὔξησιν, εἴρηκε γὰρ ἀνωτέρω, ὥστε καὶ τῷ προσιέναι καὶ ἐγγὺς εἶναι γεννᾷ, καὶ τῷ ἀπιέναι καὶ πόρρω γίνεσθαι ταὐτὸ τοῦτο φθείρει. ἐπειδὴ τοίνυν φθορά τις ἐστὶν ἡ φθίσις, οὐχ ἧττον ἑτέρα θατέρας κακία ἐστὶ καθ' αὑτὸ, ἀγαθὸν δὲ κατὰ συμβεβηκὸς ὅτι συμβαίνει τὴν ἑτέρου φθορὰν θατέρου γένεσιν εἶναι. διὸ ἑκατέρας ἔστι τι κατὰ συμβεβηκὸς αἴτιον ποιητικὸν, ἀλλ' οὐ καθ' ἑαυτό. ἡ μὲν οὖν φθίσις ~~ὡς φθορὰ τὸ αὐτὸ ἐκείνῃ αἴτιον ἔχει~~, ὡς δὲ στέρησις πρόεισι τῆς ἐμφύτου θερμότητος ἀσθενοῦς οὔσης, ὡς δὲ ἀλλοίωσις, οὐ γὰρ ἄνευ ταύτης ἡ φθίσις, ποιητικὸν ἔχει τὸ θερμὸν ἀεὶ τὴν ἐν ἡμῖν ὑγρότητα καταδαπανῶν καὶ ξηραίνων τὸ σῶμα, εἰσὶ δὲ καὶ ἄλλ' ἄττα κατὰ συμβεβηκὸς αἴτια τῆς φθίσεως ὅσα δὴ τὸ θερμὸν ἐπιτείνει, καὶ καυστικώτερον ἐργάζεται ἃ παρὰ τῶν ἰατρῶν εἰς τὰ ἀδιάφορα τῶν αἰτίων ὑπάγεται, ἅπερ ὑγείαν τε καὶ νόσους οἷά τε ἐστὶν ἐμποιῆσαι κατὰ τὴν χρήσεως ἀμετρίαν, ἢ μετριότητα, οἷον ποτὸς καὶ ἐδέσματα, ὕπνος καὶ ἀγρυπνία, κίνησις καὶ ἠρεμία, ἐκκρίσεις καὶ συνοχαί, ἀήρ τε καὶ τὰ τῆς ψυχῆς παθήματα, ἐν κεφ. δ' εἰπεῖν ὕλη μὲν φθίσεως καὶ αὐξήσεως ἡ αὐτὴ, ἡ περὶ ἣν. ἡ δὲ ἐξ ἧς ἡ τῆς προσεχοῦς τροφῆς ἔλλειψις. συμβαίνει γὰρ πολλῶν ὄντων τῶν ἐσθιομένων ὀλίγην τινὰ τροφὴν μεταβάλλειν εἰς τὴν τοῦ τρεφομένου οὐσίαν, εἴτε διὰ θερμότητος ἀσθένειαν, εἴτε διὰ μερῶν σκληρότητα, εἶδος δὲ ἡ ἀτελὴς ποσότης, τέλος δὲ καθ' ἑαυτὸ μὲν οὐδὲν, κατὰ συμβεβηκὸς δὲ ἡ ἑτέρου γένεσις, ποιητικὰ δὲ τὰ πρότερον ῥηθέντα τῶν αἰτίων.



ΙΩΑΝΝΙΝΑ 2006